Κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ
ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς.

## Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. ι.

Ἐπὶ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ
ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη
ὡς στρουθίον.
Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοί-
μασαν τὰ βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦ-
σαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.
Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον, ὁ δὲ
δίκαιος τί ἐποίησε.
Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ, κύριος ἐν οὐ-
ρανῷ ὁ θρόνος αὐτοῦ.
Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέ-
πουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς
τῶν ἀνθρώπων.
Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ
δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν.
Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας, πῦρ καὶ
θεῖον, καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ
ποτηρίου αὐτῶν.
Ὅτι δίκαιος κύριος καὶ δικαιοσύνας ἠγάπη-

σεν,